# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## 16

## 1922

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ * 1969 * RÉIMPRESSION ANASTATIQUE

ΕΚΔΟΣΕΙΣ ÉDITIONS

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ ★ BAS. N. GRÉGORIADÈS

Ε.Υ.Δ της ΕΠΕΑΕΚ
ΙΩΑΝΝΙΝΑ 2006

# ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

## ΠΕΡΙ ΡΗΜΑΤΩΝ ΑΥΘΥΠΟΤΑΚΤΩΝ ΣΤΙΧΟΙ ΠΟΛΙΤΙΚΟΙ

Τὸ ὑπ' ἀριθμὸν ΗΔ' κατάλοιπον τοῦ Λάμπρου[1] ἀποτελούμενον ἐκ τεσσάρων φύλλων, ὀκτὼ δηλαδὴ σελίδων γεγραμμένων,[2] περιέχει ἀντίγραφον ἐκ τοῦ φύλ. 75β—81β τοῦ κώδ. Vind. Phil. gr. CCXVI. Ἰδοὺ τί σημειοῖ ὁ Λάμπρος, ἐν σελίδι 7 μετὰ τὸ τέλος τῶν περὶ ρημάτων αὐθυποτάκτων στίχων πολιτικῶν τοῦ Τζέτζη.

«Ἐκ τοῦ κώδ. Vind. Phil. Gr. CCXVI χαρτῴου γεγραμμένου περὶ τὸν ιε' αἰῶνα.—Τὸ ποίημα γέγραπται καταλογάδην, περιλαμβάνεται δ' ἐν τοῖς φύλλοις 76β—81β.

Ἐν τῷ αὐτῷ κώδικι φύλλ. 75β ἐν τέλει—77β»

Κατὰ ταῦτα τὸ κατάλοιπον τοῦτο περιέχει δύο τινά

1) Τοὺς περὶ ρημάτων αὐθυποτάκτων στίχους πολιτικοὺς τοῦ Ἰωάννου Τζέτζη (σ. 1—7) καὶ

2) Καρκίνους στίχους ἡρωϊκοὺς καὶ ἄλλους ὡς τὰ πολλὰ τοῦ αὐτοῦ Ἰωάννου τοῦ Τζέτζου (σ. 7—8).

Τῶν ἔργων τούτων τὸ πρῶτον ἔχει ἐκδοθῆ ἐν μέρει ὑπὸ τοῦ I. Bekker ἐν τοῖς Anecdota graeca τομ. 3. 1088—1090). Ὁ Bekker ἔχει ἐκδώσει τοὺς πρώτους δέκα ἓξ στίχους καὶ τοὺς δύο τελευταίους ἐκ τῶν κωδίκων Reg 2594 φ. 120—123 καὶ Βατικ. 1357 φ. 44. Οὕτως ἐχόντων τῶν πραγμάτων ἐκδίδομεν τὸ ὅλον ποίημα ἀποτελούμενον ἐκ στίχων 123 παραθέτοντες ἐκτὸς τῶν γραφῶν τοῦ ἡμετέρου κώδικος σημειουμένων διὰ τοῦ Α καὶ τὰς

1. Πρβλ. κατάλογον Χαριτάκη σ. 120.

2. Ὁ κατάλογος κατὰ λάθος ἀναφέρει 7.

3. Μετὰ τὴν ἐπιγραφὴν ταύτην ἕπονται «καρκίνοι στίχοι ἡρωϊκοί» και ἄλλοι ὡς τὰ πολλὰ τοῦ αὐτοῦ Τζέτζη. Εἶνε προφανὲς ὅτι ἐὰν οἱ στίχοι οὗτοι περιέχωνται ἀπὸ φύλλ. 75β—77β, οἱ περὶ ρημάτων αὐθυποτάκτων στίχοι πολιτικοὶ τοῦ Τζέτζη δὲν εἶνε δυνατὸν νὰ ἄρχωνται ἀπὸ τοῦ φύλλου 76β ἐκτὸς ἐὰν οἱ προειρημένοι στίχοι περιέχωνται ἀπὸ τοῦ 75β—76β.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΙΕΤΖΗΣ
Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

γραφὰς τοῦ ὑπὸ τοῦ Bekker ἐκδοθέντος ἀποσπάσματος, τῶν 18 δηλαδὴ στίχων, σημειουμένας διὰ τοῦ B[1].

Τοῦ δευτέρου ἔργου πολλοὶ τῶν στίχων εἶνε καὶ ἄλλοθεν γνωστοί, [2] τινὲς δὲ καὶ ἐκδεδομένοι, ἐν τούτοις, ὅπως οἱ ἀναγνῶσται λάβωσι γνῶσιν τῆς σειρᾶς τῶν ἐν τῷ ἡμετέρῳ χειρογράφῳ στίχων ἐκδίδομεν πάντας κατὰ τὴν ἐν τῷ χειρογράφῳ σειράν.

Κ. Ι. Δ.

*Τοῦ φιλοσόφου Κυρίου Ἰωάννου τοῦ Τζέτζου περὶ ῥημάτων αὐθυποτάκτων στίχοι πολιτικοί*

Φέρε μικρόν τι παίξωμεν πολιτικοῖς ἐν στίχοις
τῆς νόσου παρηγόρημα καὶ τῆς μικροψυχίας,
περὶ ῥημάτων δ' ἔστωσαν αὐθυποτάκτων οὗτοι·
τοῦτο γὰρ ἀνεξέταστόν ἐστι τὸ μέρος μόνον.
Δεῖ γοῦν προσέχειν ἀκριβῶς, ἀλλά μοι προσεκτέον
ὡς ὅταν τὸν βαρὺν ἔχῃ πάντως τὸ ῥῆμα τόνον,
ἡ μετοχὴ δ' ὀξύνοιτο καὶ περισπῷτο πάλιν
τούτων τὸ ἀπαρέμφατον γνῶμεν αὐθυποτάκτων
τὸ θάνω δὲ παράδειγμα, θανών, θανεῖν καὶ θάνης.
μεθ' ὧν καὶ τὸ ἀπόσχωνται καὶ πρῶνται τακτέον
καὶ γένωνται καὶ τράπωνται, ἀφίωνται τὰ χρέη,
ἀφίκωνται καὶ πρίωνται, τὸ ἀγοράσωσί τι,
ἀπόσχωνται, ἀντίσχωνται καὶ προσαφέλωνταί τι,

4. Ἄξιον σημειώσεως εἶνε ἐνταῦθα ὅτι ἡ ἐπιγραφὴ τοῦ ἔργου παρὰ Bekker εἶνε ὁμοία τῇ ἡμετέρᾳ πλὴν τοῦ «τοῦ φιλοσόφου» τῆς ἡμετέρας ἐπιγραφῆς, ὅπερ ἐν τῇ ἐκδόσει τοῦ Bekker γέγραπται «τοῦ φιλοσοφωτάτου».

5. Οὕτω π. χ. ἐκτὸς τῶν περισσοτέρων ἐκ τῶν καρκίνων καὶ τὸ «Ἄλλοι στίχοι ἡρωϊκοὶ ἔχοντες ἐν ἑαυτοῖς ἕκαστος τὰ κδ' στοιχεῖα ἤγουν τὰ γράμματα» εὕρηται καὶ ἐν κώδ. Παρ. ἑλλ. 8058 φ. 37β (πρβλ. Κρουμβάχερ κατὰ μετάφρασιν Σωτηριάδου τομ. 2 σελ. 256).

1. πέξωμεν Α  2. τοῖς νόσου Α  4. ἀνεξέταστον ἐστὶν Α  6. ἔχει Β  6. ῥῆμα Α  11. ἀφίωνταί τε Β  12. ἀγοράσουσί γε Α  ἀγαράσωσί τε  13. πρόσαφέλωνται Β

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τὸ δ' ἐπιλάθωνται λαθὸν τετάχθω τελευταῖον.
Καὶ ταῦτα μὲν εἰρήσθωσαν αὐθυποτάκτων πέρι
κεφαλαιώδη, σύντομα, λακωνικά, βραχέα.
τὰ δ' ἀνυποτακτικὰ ζητεῖν ἐπιμελῶς ἀρκτέον.
Ὁπόταν ἐνεργητικὸς ἀόριστος ἐκλείποι
ἢ πρῶτος μέσος ἄχρηστος ἀόριστος τυγχάνοι,
ὁ μέλλων ἀνυπότακτός ἐστιν ὡς ἐπὶ τοῦδε.
Τοῦ γὰρ ἀφήσομεν οὐκ ἦν ἀόριστος ἄφησα
οὐδ' ἀφησάμην· τοιγαροῦν πῶς ἂν ὑποταχθείη;
Κανὼν γὰρ ὑποτακτικὸς τὸν μέλλοντα διδάσκει
ἐξ ἀορίστου γίνεσθαι καὶ μέλλοντος εὐστόχως.
Εἰ γὰρ οὐκ ἔχει σύμφωνον ὁ μέλλων ἀορίστου
ἐκεῖ τὸ ἀνυπότακτον ἔσχεν αἰσίαν χώραν.
Τοιοῦτο καὶ τὸ δώσομεν καὶ θήσομεν τυγχάνει
καὶ τοῦτον παρατήρησαι καὶ τεκμηρίῳ χρῆσαι.
Ἂν γαρ ὁ μέλλων ὁρμηθεὶς ῥημάτων βαρυτόνων
περισπωμένης ἰσωθῇ μέλλοντι συζυγίας
καὶ τοῦτο δεῖγμα πέφυκε τῆς ἀνυποταξίας.
Τοῦ γὰρ ἁμάρτω ῥήματος θέματος τρισυλλάβου
ὁ μέλλων τετρασύλλαβος ὡς ἐκ περισπωμένου.
Οὔκουν ὑποταχθήσεται τὸ ἁμαρτήσεις ῥῆμα,
ἀλλ' οὐδὲ τὸ εὑρήσομαι· τοῦ εὕρω γὰρ ὡρμήθη.
οὔτ' αὖθις τὸ βουλήσομαι, γέγονε γὰρ τοῦ βούλω.
Κἀπὶ μελλόντων ἀττικῶν τοῦτο συντηρητέον.
Ὁ ὑβριῶ γὰρ γεγονὼς ἐκ τοῦ ὑβρίσω μέλλων
τὸ ὑβριεῖ τετήρηκεν οὐχὶ ὑποτεταγμένον.
Ταῦτα καὶ μονοσύλλαβα τῆς πρώτης συζυγίας
περισπωμένων ἐνεστὼς τὸ πλεῖ καὶ ῥεῖ φυλάσσει
παρῳχημένον ξύμπαντες οὐχ ὑποτάσσονταί γε.
ὡς τὸ ἠθύμεις προδηλοῖ, ἐνήργεις, διηκόνεις,

14. λαθῶν Α λαθὼν Β  20. ἀνυπότακτος ἐστὶν Α  21. ἀφήσομεν Α
21. ἄφησα Α  22. τοι γὰρ οὖν  23. τὰ μέλλοντα  24. ἀορίστου
27. τοιοῦτον  27. τυγχάνειν  30. ἰσωθῇ  33. περὶ σπωμένου  35. ὡρ-
μήθη  42. παρῳχημένου  43. ἠθύμοις προδηλοῖ διηκόνεις



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἠτύχεις δὲ τῶν ἀγαθῶν τῶν κακῶν ἔρον ἔχων
Οὐδὲ δεύτεροι μέλλοντες τῆς πέμπτης συζυγίας,
ἐὰν βαλεῖ καὶ κερδανεῖ, φανεῖ, τὸ φανερώσει,
καὶ πρῶτοι μέσοι μέλλοντες παθητικοὶ τηροῦσι
μετὰ δευτέρου μέλλοντος τὴν ἀνυποταξίαν
ὡς τὸ ἀφήσομαι δηλοῖ καὶ τὸ τυπήσομαί τε,
οἷς δὴ καὶ μέσοι μέλλοντες δεύτεροι συμφωνοῦσι·
τὸ ἀπολεῖται δείκνυσιν τοῦτο καὶ τὸ φανεῖται.
Τὸ ἕως οὗ ἐπίρρημα προδήλως ὑποτάσσει,
τὸ δ' ἕως μόνον οὐδαμῶς, οὐδὲ τὸ μέχρις, ἄχρις·
τὸ μὴ τὸ κατ' ἐρώτησιν τεθὲν οὐχ ὑποτάσσει·
«μὴ μάτην ἐκδιδάσκομεν;» ἐρεῖ τις εὐθυβόλως.
Εἰ δ' ἔστιν ὡς προστακτικὸν μέλλουσι συνημμένον
ὑπέταξε «καὶ σύμβολον μή τις ποιήσῃ τόξε».
Καὶ τὸ οὐ μὴ ἐνέργειαν ἔσχε παραπλησίαν,
ὡς Ἡσαΐας δείκνυσιν, ὁ πάνσοφος προφήτης
«ἐπὶ τῆς γῆς ἀλήθειαν οὐ μὴ ποιήσει;» λέγων.
Εἰ δ' ἐνεστῶσι συνταχθῇ προστακτικὸν μή..
ἐνταῦθα καταλέλυται ὑποταγῆς ἡ τάξις
καὶ τὸ ληφθὲν ἀντὶ τοῦ πῶς ὅπως οὐχ ὑποτάσσει.
οἷον «σκοπῶν ἦν ἄϋπνος ὅπως πολίτας σώσει
οὐδὲ τὸ ἵνα τὸ τεθὲν ἀντὶ τοῦ ὅπου, οἷον
«ἵνα τυγχάνει θησαυρὸς ἐκεῖ καὶ ἡ καρδία»,
οὐδ' ἵνα τί ἐρώτημα τὸ διὰ τί σημαῖνον,
ὡς «ἵνα τί φρυάττονται κατὰ Χριστοῦ τὰ ἔθνη;»
ἂν δ' οὐ προστέθειται τὸ τί τὸ ἵνα ὑποτάσσει
Πλὴν ἀλλ' ὡς ἐν ὑφάσματι παντὶ συναρμοστέον
κατὰ στοιχεῖον ἀπ' ἀρχῆς μέχρις αὐτοῦ τοῦ τέλους·
δεῖ γὰρ τὸν πέπλον ἐντελῆ τοῦ λόγου προσυφαίνειν
καὶ συντηρεῖν ἠκριβασμὸν τὸν τῆς ἀλληλουχίας
καὶ καθ' εἱρμὸν καὶ σύνδεσμον τὰ λείποντα διδάσκειν.

44. ἠτύχεις 47. πρῶτοι 49. δηλοί γε 51. ἀπόλειται 59. δεῖκνυσιν
61. δὲ ἐνεστῶσι σύνταχθῇ 62. κάταλέλυται 63. ὑποτάσει 64. σώση
68. φριάττονται 72. πρὸς ὑφαίνειν 73. συντηρεῖν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δεικνύντος τὴν ἀκρίβειαν τοῦ τεχνικοῦ κανόνος
πρὸς ὅνπερ ἀπευθύνοιτο ῥημάτων ἀρτιότης,
τὰ περιττὰ δὲ τέμνοιτο τοῦ λόγου τῇ μαχαίρᾳ,
ἢ δοκιμάζοιτο καλῶς ὥσπερ Λυδίᾳ λίθῳ,
ὡς ποταμῷ τῷ κελτικῷ τὰ τῶν βαρβάρων βρέφη
σωζόμενα τὰ γνήσια, συρόμενα τὰ νόθα,
ὡς ἀετοῦ νεόττια πρὸς τὰς αὐγὰς ἡλίου
ἢ καθαρῶς προσβλέποντα ἢ δυσαντιβλεποῦντα.
Καὶ δὴ παρατιθέσθωσαν ὅσα γνησίως ἔχει,
ἐρρίφθω δ' ἐς Κυνόσαργες, ὥσπερ οἱ νόθοι, τἆλλα.
Καὶ φέρε μυωπήσωμεν τὸν πῶλον πρὸς τὴν νύσσαν,
τὸν λογικὸν δραμούμενον ὡς ἱππικὸν ἀγῶνα
καὶ τῇ τοῦ νοῦ μαστίξωμεν μάστιγι πρὸς τὸν δρόμον,
πετασθησόμενον εὐθὺς ὥσπερ οἱ παρ' Ὁμήρῳ,
καὶ τοῦ διαύλου θεατὴς ὁ φιλολόγος ἔστω,
ᾧπερ καὶ παραινέσομεν χρησίμους παρεμφάσεις,
αὐτὰ δὴ τὰ προκείμενα παράγοντες εἰς μέσον.
Μὴ τοὺς ἐμοὺς λυσιτελεῖς ἔρρειν ἀφήσεις λόγους
ὡς ἀποβήσονται καλὰ τοῦ βίου σου τὰ τέλη.
Ἂν γὰρ ἀνήσῃς τὴν πηγὴν τῶν φαύλων ῥαθυμίαν
αἱρήσεις τε συμφοιτητὰς ἐν τῷ καιρῷ τῆς πάλης,
οὐκ ἂν εὐδοκιμήσεως τῆς φίλης ἁμαρτήσεις,
οὐδ' ἂν βουλήσωνται πολλοὶ ταύτης ἀπαγαγεῖν σε,
οὐδ' ἂν γενήσωνται πολλαὶ ἡμέραι σοι τοῦ βίου
οὐκ ἂν σε γνώσονταί τινες πάμπαν ἠδοξηκότα.
Ἂν δώσῃς δέ γε σεαυτὸν ἀνέσει καὶ ῥαστώνῃ
οἱ δυσμενεῖς δυνήσονται βλάπτειν ἐκ τοῦ προχείρου,
ἡμεῖς δ' οὐχ ἕξομεν ἰσχὺν ὥστε σοι προσαμύνειν,

75. δεικνῦντος 77. τέμνοιτὸ 79. βρέφει 82. πρὸς βλέπον 84. δε ἐς κῦνδσαργες τᾶλλα 85. μυῶπήσωμεν πῶλον 87. τῆ μαστίξομεν 91. προκεῖμενα 92. ἐμοῦς ἔρειν 93. ἀπὸβήσονται 95. αἰρήσεις τὲ πᾶλιν 97. βουλήσονται 98. γενήσονται 99. γνώσονται τινὲς 100. δώσεις σεαυτὸν 101. προχεῖρου 102. οὐχέξομεν σοὶ προσαμήνειν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἰσόμεθα δ' ὡς ἔσονται πάντες ὑπέρτεροί σου.
Πῶς γὰρ ἐνήσει ῥαθυμῶν ἥττῃ τοὺς ἀντιπάλους;
καὶ κλαίοντες ἐψόμεθα, εὑρήσομεν ἀνοίας.
Ἐρεῖς δ' ἐφ' ἕπου καὶ αὐτός, ἂν ἐνεγκῶν ἧς φρένας
καὶ ζῇ τὸ περικάρδιον αἷμά σοι κἂν ὀλίγον,
ὡς μάτην θεὶς ἂν μὴ μακρὰν τὴν ῥαθυμίαν θήσεις.
Ὅταν γὰρ ἥξῃ ὁ ἀγών, σὺ κερδανεῖς τὴν ἧτταν,
συμπαθηταὶ δὲ λήψονται τὸν στέφανον τῆς νίκης.
κἂν ὄψῃ καὶ ὀψώμεθα πῶς εἴσομεν τὸ πρᾶγμα·
οὐκ ἂν γὰρ οἰησόμεθα νικᾶν κἂν τις ὁμεῖται,
οἰκτροὶ δὲ ὀφθησόμεθα ἂν σε ὀνειδιεῖ τις.
Ἀλλ' ἵνα μὴ παρήσωμαι τότε τῷ λύπης βέλει,
μηδ' ἀπευκταῖον πείσωμαι πάθος ἐκ συμπαθείας,
μικρὰν φωνὴν ποιήσομαι ὡς ἂν πλῇς ἐξ οὐρίας
καὶ ῥεῖ σοι πάντα κατὰ νοῦν, ῥιψήσονται δ' ἀνοίαν.
Κἂν σὺ συνήσεις ἐνεργῶς ὅπως τὴν νίκην σχήσεις,
οὐχ ὑβριεῖ δὲ ὁ ἐχθρός σοι χαίρων ἀπωλείαν,
φανήσονται δὲ ξύμπαντες ἥττονές σοι τῇ πάλῃ.
ἂν χεῖς ἱδρῶτας περιττοὺς ἐπαγρυπνῶν μελέτῃ,
ἤδη τὸν δρόμον ἤνυσεν ὁ κάλλιστός μοι πῶλος
καὶ πνευστιᾶν πως ἔοικεν· οὐκοῦν ἀναπαυστέον.

## *Καρκίνοι στίχοι ἡρωϊκοί*

— Ἤδη μοι Διὸς ἄρα πηγή[1] παρὰ σοί, Διομήδη.
— Ἀθλήσας ἤδη πώλῳ πηδήσας ἦλθα.
— Ἀμήσας ἄρδην ὀροφηφόρον[2] ἤδρασα σῆμα.

105. ἐψόμεθα εὑρήσομεν 106. ἐνεγκῶν εἶ φραίνας 107. ζεῖ περικάρδιον αἷμα σοι ὀλίγον 109. ἥξει ἀγὼν 111. ὄψει ὀψόμεθα εἴσομεν πράγμα 112. οἰήσομεθα νικάν 113. ἂν σε τὶς 114. παρήσομαι 115. μὴδ' ἀπευκταῖον 116. ἐξουρίας 119. οὐχ' σοι ἀπολείαν 121. περιττοῖς, μελέτην 121. ἤδὴ Α ἤδη Β ἥνυσεν Α ἤνυσεν Β 123. πῶς Α πος Β

1. πηγῇ 2. ὀροφηφορον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Στίχοι ἰαμβικός, δωρικός. Καρκίνος Ἰωάννου τοῦ Τζέτζου εἰς τὴν βίβλον τοῦ Σιράχ.

— Σιράχ, ἦσασα ἠχὴ ἦσασα χάρις.

Τοῦ αὐτοῦ ἄλλος καρκίνος

Σολομῶν φήσω Ἰωσὴφ νῶ μέλος

Ἄλλος:

Ἕλε σὺ δὴ ὁ σοφός, ὁ ἡδὺς ἕλε.

Εἰς τὴν Ἀνδρομήδαν [1] τοῦ αὐτοῦ καρκίνος

Ἡ ποιῇ τῇ (;) ὦ μῦθοι. Ἤδη ἰσθύμω ἢ τῇ Ἰόπῃ.

Ἄλλοι στίχοι ἡρωϊκοὶ ἔχοντες ἐν ἑαυτοῖς[2] ἕκαστος τὰ κδ' στοιχεῖα, ἤγουν τὰ γράμματα·

— Ἀβροχίτων [3] δ' ὁ φύλαξ θηρόζυγε, καμψιμέτωπε.
— Φθέγξατο δὴ βάτραχος διζήμενος ὑψόθι [4] κλῶπα.
— Ζεὺς ὑψιβρεμέτης, κτύπε δὲ χθών,[5] ἔγρατο δὲ φλόξ.
— Τρηχὺν δ' ὑπερβὰς φραγμὸν ἐξήνθιζε κλώψ.

Ἄλλοι ἴαμβοι ὁμοίως ἔχοντες αὐτὰ τὰ γράμματα Ἰωάννου τοῦ Τζέτζου.

— Ζευχθεὶς[6] πτεροῖς ἔκλαγξε βομβώδη ψόφον.
— Στρωμνὴν βδελυχθεὶς [7] ζκιτυπεγξύλῳ (;) ψόφῳ.
— Τζέτζης, ἄγρυπνος, μίξ, κλάδων, ψύχθη, φόβη.

---

1. ἀνδρομίδα 2. ἑαυτοῖς 3. ἀβροχίτων 4. ὑψόθη 5. χθῶν 6. ζευχθεῖς 7. βδελυχθεῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006